[23] Καὶ τὸ περισσὸν τῶν φυλῶν ἀπὸ τῶν πρὸς ἀνατολὰς ἕως 23
τῶν πρὸς θάλασσαν Βενιαμιν, μία. [24] καὶ ἀπὸ τῶν ὁρίων τῶν Βενι- 24
αμιν ἀπὸ τῶν πρὸς ἀνατολὰς ἕως τῶν πρὸς θάλασσαν Συμεων,
μία. [25] καὶ ἀπὸ τῶν ὁρίων τῶν Συμεων ἀπὸ τῶν πρὸς ἀνατολὰς 25
ἕως τῶν πρὸς θάλασσαν Ισσαχαρ, μία. [26] καὶ ἀπὸ τῶν ὁρίων τῶν 26
Ισσαχαρ ἀπὸ τῶν πρὸς ἀνατολὰς ἕως τῶν πρὸς θάλασσαν Ζα-
βουλων, μία. [27] καὶ ἀπὸ τῶν ὁρίων τῶν Ζαβουλων ἀπὸ τῶν πρὸς 27
ἀνατολὰς ἕως τῶν πρὸς θάλασσαν Γαδ, μία. [28] καὶ ἀπὸ τῶν ὁρίων 28
τῶν Γαδ ἕως τῶν πρὸς λίβα καὶ ἔσται τὰ ὅρια αὐτοῦ ἀπὸ Θαιμαν
καὶ ὕδατος Μαριμωθ Καδης κληρονομίας ἕως τῆς θαλάσσης τῆς
μεγάλης. [29] αὕτη ἡ γῆ, ἣν βαλεῖτε ἐν κλήρῳ ταῖς φυλαῖς Ισραηλ, 29
καὶ οὗτοι οἱ διαμερισμοὶ αὐτῶν, λέγει κύριος θεός.
[30] Καὶ αὗται αἱ διεκβολαὶ τῆς πόλεως αἱ πρὸς βορρᾶν, τετρακισ- 30
χίλιοι καὶ πεντακόσιοι μέτρῳ. [31] καὶ αἱ πύλαι τῆς πόλεως ἐπ' ὀνό- 31
μασιν φυλῶν τοῦ Ισραηλ· πύλαι τρεῖς πρὸς βορρᾶν, πύλη Ρουβην
μία καὶ πύλη Ιουδα μία καὶ πύλη Λευι μία. [32] καὶ τὰ πρὸς ἀνατο- 32
λὰς τετρακισχίλιοι καὶ πεντακόσιοι· καὶ πύλαι τρεῖς, πύλη Ιωσηφ
μία καὶ πύλη Βενιαμιν μία καὶ πύλη Δαν μία. [33] καὶ τὰ πρὸς νότον 33
τετρακισχίλιοι καὶ πεντακόσιοι μέτρῳ· καὶ πύλαι τρεῖς, πύλη Συ-
μεων μία καὶ πύλη Ισσαχαρ μία καὶ πύλη Ζαβουλων μία. [34] καὶ 34
τὰ πρὸς θάλασσαν τετρακισχίλιοι καὶ πεντακόσιοι μέτρῳ· καὶ πύλαι
τρεῖς, πύλη Γαδ μία καὶ πύλη Ασηρ μία καὶ πύλη Νεφθαλιμ μία.
[35] κύκλωμα δέκα καὶ ὀκτὼ χιλιάδες. καὶ τὸ ὄνομα τῆς πόλεως, ἀφ' 35
ἧς ἂν ἡμέρας γένηται, ἔσται τὸ ὄνομα αὐτῆς.

26 των $2^0$ > A: item in 27. 28, sed in 24. 25 hab. etiam A των $2^0$ || 28 εως $1^0$] pr. και A† | των $3^0$ > AC† (de των $2^0$ cf. sup.) | τα > A† | μαριμωθ mu. (cf. 47 19)] βαριμωθ BA (pro μαριβωθ?) | κληρονομιας] ς > A | της paenult. > A || 29 κυριος θεος: cf. 45 9 || 31 φυλων] pr. των A | προς] pr. αι A || 35 εσται το ονομα αυτης: sic BL legentes יהיה שמה pro יהוה שמה (cf. 10 fin., ubi 𝔊 יהיה pro יהוה); hanc uersionem retinentes praemittunt A mu. alteram uersionem κυριος εκει = 𝔐 יהוה שמה

Subscr. ιεζεκιηλ B, ιεζεκιηλ προφητης A†: cf. inscr.

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/867 UNIVERSITÄT LEIPZIG